ὁ μειρακίcκος τὴν ἀδελφήν· cύντροφοι
αὗται θ' ἑαυταῖc εἰcιν ἐκτεθραμμέναι.
ὣν δ', ὅπερ ὑπεῖπα, χρηcτὸc οὗτος μακροτέραν
ὁρῶν ἐκείνωι τὴν ἀποδημίαν τά τε
οἰκεῖα μέτρια παντελῶc, τὴν παρθένον
αὐτὸc cυνοικίζειν νεανίcκωι τινὶ
ἔμελλεν, ὑῶι τῆc γυναικὸc ἧc ἔχει,
ἐξ ἀνδρὸc ἑτέρου, προῖκά τ' ἐπεδίδου δύο
τάλαντα· καὶ ποιεῖν ἔμελλε τοὺc γάμους
νυνί. ταραχὴν δὲ τοῦτο πᾶcιν ἐμπεcὸν
τὸ νῦν παρέξει πρᾶγμα· τοὺc ἑξακοcίους
χρυcοῦc ἀκούcαc οὑτοcὶ γὰρ ἀρτίωc
ὁ πονηρόc, οἰκέταc τε βαρβάρουc ἰδών,
cκευοφόρα, παιδίcκαc, ἐπικλήρου τῆc κόρηc
οὔcηc κρατεῖν βουλήcετ' αὐτόc, τῶι χρόνωι
προέχων. μάτην δὲ πράγμαθ' αὑτῶι καὶ πόνουc
πολλοὺc παραcχὼν γνωριμώτερόν τε τοῖc
πᾶcιν ποήcαc αὑτὸν οἷόc ἐcτ' ἀνὴρ
ἐπάνειcιν ἐπὶ τἀρχαῖα. λοιπὸν τοὔνομα
τοὐμὸν φράcαι· τίc εἰμι, πάντων κυρία
τούτων βραβεῦcαι καὶ διοικῆcαι; Τύχη.

Cμ. ἵνα μή τιc εἴπηι μ' ὅτι φιλάργυροc cφόδρα,
οὐκ ἐξετάcαc πόcον ἐcτὶν ὃ φέρει χρυcίον
οὐδ' ὁπόcα τἀργυρώματ', οὐδ' ἀριθμὸν λαβὼν
οὐδενόc, ἑτοίμωc εἰcενεγκεῖν ἐνθάδε
εἴαcα· βαcκαίνειν γὰρ εἰώθαcί με
ἐπὶ παντί· τὸ γὰρ ἀκριβὲc εὑρεθήcεται
ἕωc ἂν οἱ φέροντεc ὦcιν οἰκέται.
οἶμαι μὲν οὖν ἑκόνταc αὐτοὺc τοῖc νόμοιc
καὶ τοῖc δικαίοιc ἐμμενεῖν· ἐὰν δὲ μή,
οὐθεὶc ἐπιτρέψει. τοὺc δὲ γινομένουc γάμουc